αὐτόματον θάνατον, ἀλλ' ἐκλεξάμενοι τὸν κάλλιστον.
καὶ γὰρ ἀγήρατοι μὲν αὐτῶν αἱ μνῆμαι, ζηλωταὶ δὲ ὑπὸ
80 πάντων ἀνθρώπων αἱ τιμαί· οἳ πενθοῦνται μὲν διὰ τὴν
φύσιν ὡς θνητοί, ὑμνοῦνται δὲ ὡς ἀθάνατοι διὰ τὴν
ἀρετήν. καὶ γάρ τοι θάπτονται δημοσίᾳ, καὶ ἀγῶνες
τίθενται ἐπ' αὐτοῖς ῥώμης καὶ σοφίας καὶ πλούτου, ὡς
ἀξίους ὄντας τοὺς ἐν τῷ πολέμῳ τετελευτηκότας ταῖς
81 αὐταῖς τιμαῖς καὶ τοὺς ἀθανάτους τιμᾶσθαι. ἐγὼ μὲν
οὖν αὐτοὺς καὶ μακαρίζω τοῦ θανάτου καὶ ζηλῶ, καὶ
μόνοις τούτοις ἀνθρώπων οἶμαι κρεῖττον εἶναι γενέσθαι,
οἵτινες, ἐπειδὴ θνητῶν σωμάτων ἔτυχον, ἀθάνατον μνή-
μην διὰ τὴν ἀρετὴν αὐτῶν κατέλιπον· ὅμως δ' ἀνάγκη
τοῖς ἀρχαίοις ἔθεσι χρῆσθαι, καὶ θεραπεύοντας τὸν πά-
τριον νόμον ὀλοφύρεσθαι τοὺς θαπτομένους.

3.

## | ΠΡΟΣ ΣΙΜΩΝΑ ΑΠΟΛΟΓΙΑ.

1 *Πολλὰ καὶ δεινὰ συνειδὼς Σίμωνι, ὦ βουλή, οὐκ ἄν*
ποτ' αὐτὸν εἰς τοσοῦτον τόλμης ἡγησάμην ἀφικέσθαι,
ὥστε ὑπὲρ ὧν αὐτὸν ἔδει δοῦναι δίκην, ὑπὲρ τούτων ὡς
ἀδικούμενον ἔγκλημα ποιήσασθαι καὶ οὕτω μέγαν καὶ
2 σεμνὸν ὅρκον διομοσάμενον εἰς ὑμᾶς ἐλθεῖν. εἰ μὲν οὖν
ἄλλοι τινὲς ἔμελλον περὶ ἐμοῦ διαγνώσεσθαι, σφόδρα
ἂν ἐφοβούμην τὸν κίνδυνον, ὁρῶν ὅτι καὶ παρασκευαὶ
καὶ τύχαι ἐνίοτε τοιαῦται γίγνονται, ὥστε πολλὰ καὶ
παρὰ γνώμην ἀποβαίνειν τοῖς κινδυνεύουσιν. εἰς ὑμᾶς
3 δ' εἰσελθὼν ἐλπίζω τῶν δικαίων τεύξεσθαι. μάλιστα δ'
ἀγανακτῶ, ὦ βουλή, ὅτι περὶ τοιούτων πραγμάτων εἰπεῖν
ἀναγκασθήσομαι πρὸς ὑμᾶς, ὑπὲρ ὧν ἐγὼ αἰσχυνόμενος,
εἰ μέλλοιεν πολλοί μοι συνείσεσθαι, ἠνεσχόμην ἀδικού-
μενος. ἐπειδὴ δὲ Σίμων με εἰς τοιαύτην ἀνάγκην κατ-